www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΕΣΠΕΡΙΝΟΣ

# ΟΡΘΡΟΣ

# ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Τῌ ΙΑ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ
ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΣΩΦΡΟΝΙΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ

# ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

**Ἦχος β΄.** Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τὸν Θεοφόρον· τὸν τῆς σωφροσύνης συνώνυμον καὶ τῆς μετανοίας διδάσκαλον· τοῦ ἁγίου πένθους τὸν φωστῆρα· σοφῶς τῇ αὐτομεμψίᾳ ἐλαυνόμενον, δι᾽ ὃ καὶ φωτοχυσίᾳ ἐλλαμπόμενον· ταῖς γὰρ ῥοαῖς τῶν δακρύων, ἐν ἐρήμοις τόποις, τὸν ὄντως Ὄντα ἐκζητῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν, ὁ Σωφρόνιος ἀνεύρατο.

Ποίων εὐφημιῶν ἔπαινον, προσενέγκωμεν τῷ Σωφρονίῳ· τὸν ἐσχάτοις χρόνοις ἐκλάμψαντα καὶ τὴν Οἰκουμένην φωτίσαντα· τῆς Ὀρθοδοξίας τὸν φωστῆρα· ἀόκνως τῇ προσευχῇ ἐγκαρτερήσαντα· σπουδαίως ἐν τοῖς δόγμασι φοιτήσαντα· ὄντως παθὼν γὰρ τὰ Θεῖα, κοινωνίαν ἔσχεν, τῶν ἀκτίστων ἐνεργειῶν, τοῖς ἀξίοις δὲ μεθεκτῶν, ἐν οἷς Θεὸς δοξάζεται.

Ἆσμα ἀγγελικὸν γέγονε, πρὸς τὸν Κύριον ἡ βιοτή σου· τῆς σῆς μετανοίας τοῖς δάκρυσι καὶ ἀσκητικοῖς σου παλαίσμασι· τῇ Γεθσημανείῳ προσευχῇ σου· δι' ἧς, ὑπὲρ πανανθρώπου προσευχόμενος· ἐν ταύτῃ τῇ ταπεινωφροσύνῃ ὁδηγούμενος· τοῦ Ἰησοῦ, κατὰ Παῦλον, παθημάτων μύστης, ὦ Σωφρόνιε, γεγονώς· Αὐτὸν καθικέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος δ΄.** Ὡς γενναῖον ἐν μάρτυσι.

Τοῦ Φωτὸς ὄντως γέγονας οἰκητήριον, πάνσοφε, ὅσιε Σωφρόνιε παναοίδιμε· καὶ λαμπρυνθεὶς τὴν διάνοιαν, πανσόφως κατέγραψας, ὅσα πείρᾳ δειδαχθείς, διακρίσει κινούμενος καταλέλοιπας, τοῖς πιστοῖς ὡς πυξίδα καὶ ὡς φάρον, τὴν ὁδὸν καταφωτίζων τοῦ Ὀρθοδόξου πληρώματος.

Μετανοίας διδάσκαλος σὺ ἐγένου Σωφρόνιε, καὶ τῆς Θείας γνώσεως μύστης ἄριστος· τῶν Ἐντολῶν τῇ τηρήσει γάρ, σοφῶς πορευόμενος, ἀνυψώθης, ὡς εἰκός, εἰς τὴν Θείαν ἀντίληψιν καὶ ἐγνώρισας τοῦ Ἀκτίστου Φωτὸς τὰς ἐνεργείας καὶ ἐλλάμψεις οὐρανίας, τῇ ταπεινώσει ὑψούμενος.

Ὡς τὸ Φῶς τῆς Θεότητος, σὺ κατεῖδες Σωφρόνιε, Ἐντολὰς Κυρίου πρὸς τὸ ἀνθρώπινον, ὧν ἡ ἀσάλευτος τήρησις, προάγει τὸν ἄνθρωπον πρὸς τὴν Θείαν

ἀπαρχήν, πρὸς τὸ Κάλλος τῆς πλάσεως, οὗπερ γέγονας, κοινωνὸς κατὰ θείαν εὐδοκίαν, ἧς ἀξίως κατηυγάσθης, τῇ ἀκαμάτῳ ἀσκήσει σου.

Δόξα. **Ἦχος πλ. β΄.**

Δεῦτε ἀναβῶμεν εἰς τὸ Ὄρος Κυρίου, δεῦτε καὶ κατίδωμεν Θεαυγεστάτην κορυφὴν πράξεώς τε καὶ Θεωρίας· Σωφρόνιον δὲ τὸν Ὅσιον, μυσταγωγὸν καὶ ποδηγέτην, θεοπρεπῶς ἐνατενίσωμεν. Τὴν Κλίμακα γὰρ Ἰωάννου τοῦ Σιναΐτου ἐν ἄλλοις λόγοις κατέγραψε, δῆλα ποιῶν ὅσα τῇ τῆς πράξεως πείρᾳ μεμάθηκε. Γρηγορίου δὲ τοῦ Παλαμᾶ τὴν διδασκαλίαν καὶ τὰς Θείας ἐλλάμψεις ἐπαξίως κατηκολούθησε. Διήνοιξε δὲ οὕτως, τὴ σήμερον ἡμέρᾳ, ὁδοὺς τὰς εὐθείας τῆς Ὀρθοδόξου πίστεως καὶ τῆς ἐν Χριστῷ Ἰησοῦ βιοτῆς. Αὐτῷ συμφώνως ἐκβοήσωμεν· μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ λαοῦ ἐπταικότος, πάτερ ἁγιώτατε.

Καὶ νῦν. **Θεοτοκίον.**

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου τὸν ἀλοχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽

ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος.** Φῶς ἱλαρόν.

Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄,1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. ε΄,15-23 καὶ στ΄,1-3)

Δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ακούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου, ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει.

# Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ΄,7-15)

Δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.



www.tezaurliturgic.ro



# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

## Ψάλλομεν στιχηρὰ ἰδιόμελα.

### Ἦχος α΄.

Τὸν τοῦ Ἁγίου Σιλουανοῦ τοῦ Ἀθωνίτου μαθητὴν καὶ τῆς κατὰ Χριστὸν Πολιτείας καθηγητήν, δεῦτε σήμερον εὐφημήσωμεν, ὦ φιλέορτοι. Τὸν ἀσκηθέντα εἰς τὴν μεγίστην τῶν ἀρετῶν, ἁγίαν Ταπείνωσιν καὶ εἰς τὴν μετὰ τοῦ Πνεύματος θεοπρεπῆ οἰκείωσιν. Τὸν δεχόμενον τὴν θλῖψιν ὡς εὐλογίαν καὶ ἀσφαλεστάτην ὁδόν, ἄγουσαν πρὸς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Αὐτὸν οὖν μιμησώμεθα καὶ τὰς πρὸς Κύριον πρεσβείας αὐτοῦ αἰτησώμεθα.

### Ἦχος β΄.

«Κράτει τὸν νοῦ σου εἰς τὸν ᾅδην καὶ μὴ ἀπελπίζου». Τὴν σωτήριον ταύτην παραίνεσιν, παρὰ Κυρίου δοθεῖσαν τῷ ἁγίῳ Σιλουανῷ, τὴν αὐτὴν ὁλοκαρδίως διὰ βίου διεφύλαξας. Ἔνθεν καταυγασθεὶς χαρμολύπῃ ἀσκητικῇ, ἐν γλυκείᾳ καρδίᾳ, πενθήρη διήγαγες. Διό σε δυσωποῦμεν, παράσχου καὶ ἡμῖν τοῖς διψῶσι, ρανίδα ἐκ τῆς δοθείσης σοι Χάριτος.

## Ἦχος γ΄.

Τὸν τῆς Θείας Λειτουργίας μυσταγωγόν, τοῦ Ἐσταυρωμένου ἀνύστακτον ἐραστὴν καὶ τῆς Οἰκουμένης σοφώτατον παιδευτήν, Σωφρόνιον τὸν ἁγιώτατον, εὐσεβοφρόνως τιμήσωμεν. Οὗτος γὰρ ἀκτήμων ἐν πᾶσι γεγονός, τὴν κατὰ τὸ πνεῦμα ἐκτήσατο ἀκτημοσύνην, τὴν Βασιλείαν τῶν Οὐρανῶν ἐκζητῶν μόνον καὶ ποθῶν. Ἧσπερ καὶ ἡμεῖς τύχοιμεν, ταῖς πρεσβείαις ταῖς σαῖς, πάτερ ἁγιώτατε.

## Ἦχος δ΄.

Τοῦ αὐτομίσους εὑρὼν τὴν ὁδόν, ὡς μόνην ἀσφαλῆ καὶ Θεόδεκτον, ὡς εἰκὸς εὑρέθης πρὸ τῆς εἰσόδου τῆς ἀσαλεύτου Βασιλείας. Πάντα ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, πάτερ Σωφρόνιε, ὡς σοφῶς διδάσκεις, οὕτω καὶ πείρᾳ ἔλαβες. Ἑώρακας γὰρ τὸν ἀληθινὸν ὄντως Θεὸν καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν· Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Δόξα... Ἦχος πλ. α΄.

Τῆς μυστικῆς σοφίας τὴν σάλπιγγα, τὸν οὐρανοδρόμον φαεινότατον ἀστέρα, Σωφρόνιον τὸν σοφώτατον ἐγκωμίοις στεφανώσωμεν. Οὗτος γὰρ τὸ

ἄϋλον πῦρ ἐν τῇ καρδίᾳ δεξάμενος, τοῖς ὀχετοῖς τῶν δακρύων, δυνάμει τοῦ Χριστοῦ, ἑαυτὸν ὁλοτελῶς ἡγίασεν καὶ τὴν τῆς ἀπαθείας πόλιν ἐγκατῴκησεν. Οὕτω γέγονε φωστήρ, τὴν ταπείνωσιν Χριστοῦ ἐγκολπωσάμενος καὶ ἑαυτὸν τοῖς πᾶσι χαρισάμενος. Πάντες οὖν εὐσεβοφρόνως τὴν μνήμην αὐτοῦ τελοῦντες, προσπίπτοντες αὐτῷ κραυγάζομεν· σῶσον ἡμᾶς, Ἅγιε, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν... **ὁμόηχον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν κραταιὰν προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.



# ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος α΄.** Τῶν Οὐρανίων ταγμάτων.

Ὥσπερ ὁ Παῦλος τῇ αἴγλῃ τοῦ Οὐρανίου Φωτός, καταυγασθεὶς σωφρόνως, ὦ Σωφρόνιε μάκαρ, ἐβάδισας ἀόκνως εὐθεῖαν ὁδὸν ἔνθα πόνοις καὶ δάκρυσι, εὗρες καινήν, μάκαρ, ὅρασιν ἀληθῶς δι᾽ ἧς κατεῖδες τὸν ποθούμενον.

**Στίχ.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τὴν ἱερὰν τοῦ Προδρόμου μονὴν κατέπηξας, ὡς Θεοφόρον Φάρον, ἐν χειμῶνι καὶ κρύει, ὡς λύχνον φωτοφόρον ἐν σκότει βαθεῖ, ἔνθα Φῶς ἐκπορεύεται, ὡς τοῦ Ἀμνοῦ ἡ θυσία διηνεκῶς ὑπὲρ παντὸς λαοῦ προσφέρεται.

**Στίχ.** Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Μνήμη θανάτου κατέστη, γνώμων, κανὼν σῆς ζωῆς, πνοὴ ἡ αὐτομεμψία, ἕως ᾅδου χωροῦσα· Ἁγίου Θεοφόρου Σιλουανοῦ νουθεσίαι πανάγιαι, αἱ ὁδηγήσασαι, πάτερ, σεπτὴν ψυχήν, τῇ ταπεινώσει, εἰς Ἀνάστασιν.

Δόξα... **Ἦχος πλ. α΄.**

Σήμερον τὰ πλήθη τῶν πιστῶν, ἐκ περάτων γῆς συναθροισθῶμεν καὶ τῆς Ρωσίας τὸν γόνον καὶ τοῦ Ἄθωνος πνευματέμφορον βλάστημα, εὐσεβῶς ἀνευφημήσωμεν. Τῆς μετανοίας τὸν ἀλάθητον ὁδηγόν, τῆς συννοίας τὸν ποδηγέτην, τὸν ἐμπνευστὴν τῆς νήψεως καὶ τῆς σωφροσύνης σοφώτατον διδάσκαλον. Τὸν κοινωνήσαντα τῷ Θείῳ Φωτὶ καὶ ταῖς αὐγαῖς Αὐτοῦ καταστράψαντα τὸν ἀδιάστατον τῆς Ἐκκλησίας πόλον, τοῖς ὄμβροις τῆς Χάριτος, οἵτινες πλουσίως διηνοίχθησαν ταῖς ῥοαῖς τῶν δακρύων αὐτοῦ· Σωφρόνιον τὸν σώφρονα, ἐπαξίως τιμήσωμεν καὶ τὰς εὐπροσδέκτους πρὸς Κύριον, λιτὰς αὐτοῦ ἐκζητήσωμεν.

Καὶ νῦν... **Θεοτοκίον,** ὁμόηχον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ βασιλέως, Παρθένε πάνσεμνε· δι᾽ ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε κατ᾽ εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις. **Τρισάγιον. Ὅτι σοῦ ἐστιν.**

## Ἀπολυτίκιον.

### Ἦχος γ΄. Θείας πίστεως.

Πλήρης χάριτος καὶ ἀληθείας, φῶς γενόμενος θεολογίας, προφητικῶς τὸν σὸν βίον διήνυσας· τὸν Ἐνυπόστατον Λόγον ἑώρακας, καὶ σωτηρίας ὁδοὺς ἡμῖν ἐγνώρισας. Πάτερ, πρέσβευε ἀεὶ τῷ Θεῷ δωρήσασθαι, Σωφρόνιε, ἡμῖν τὸ μέγα ἔλεος.

## Ἕτερον.

### Ηχος δ΄. Ὁ ὑψωθείς.

Πατρὸς Ὁσίου ποθεινότατον τέκνον, Σιλουανοῦ τοῦ Ἀθωνίτου ἐδείχθης, Σωφρόνιε χριστόνοε καὶ θεῖος ἑρμηνεύς, τῇ σοφίᾳ λόγων σου, ἐν τῷ κόσμῳ ἐκλάμψας, καὶ ἐνθέῳ βίῳ σου, πρὸς τὸ Φῶς ὁδηγήσας, τοὺς αἱρουμένους Πάτερ τὸν Θεόν, Ὅνπερ εὐχαῖς σου, ὀψόμεθα πώποτε.

## Θεοτοκίον.

Τὸ ἀπ᾿ αἰῶνος ἀπόκρυφον καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι᾿ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν.

**Κάθισμα. Ἦχος α΄.** Τὸν Τάφον σου, Σωτήρ.

Ἐγώ εἰμι ὁ Ὤν, ἠξιώθης ἀκοῦσαι, ὁ πάντων Ποιητὴς ὑπὸ σοῦ ὡς ὡράθη, μεθ᾽ ὃ ἡρπάγη σύνολος ἡ καρδία σου ἅγιε, μετανοίας δὲ ὁδὸν βαδίζων παμμάκαρ, τῷ Κυρίῳ σου ἐν κατανύξει ἐβόας· ἡμάρτηκα σῶσόν με.

Δόξα... Καὶ νῦν. **Θεοτοκίον,** ὅμοιον.

Μητέρα Σὲ Θεοῦ, προσκυνοῦμεν Παρθένε, ὡς Χώραν παγκαλῆ Παντουργοῦ Ἀχωρήτου, ἐν ᾗ ἐπανεπαύσατο ἡ Τριὰς καὶ Μονὰς ὁ Θεός, ἧς κατέλαβες Θεουργικῶς Δευτερεῖα· Ἀειπάρθενε, εὐλογημένη Μαρία, βροτῶν ἡ ἀνάπλασις.

Μετὰ τὴν β΄ στιχολογίαν.

**Κάθισμα. Ἦχος πλ. δ΄.** Τὴν Σοφίαν καὶ Λόγον.

Τῶν παθῶν τοῦ Κυρίου σὺ ἐραστής, ὦ Σωφρόνιε μάκαρ, ἀκολουθεῖς· ἐν πόνοις καὶ στεναγμοῖς τὴν ὁδὸν τῆς καθάρσεως· μὴ φειδόμενος σώφρων σεαυτοῦ καὶ τοῖς δάκρυσι ὅλος κεκαθαρμένος καὶ Φωτὸς

ἐλλαμπόμενος· γέγονας διδάκτωρ, θεοδίδακτος ἅπας· ἃ πείρᾳ μεμάθηκας, ταῖς γραφαῖς παραδέδωκας καὶ πεινῶντας ἐξέθρεψας· μάννα ἐν ἐρήμῳ Σινᾶ, ὁ σὸς λόγος γέγονε, Σωφρόνιε, καὶ ἐκτρέφει λαοὺς ταῖς πρεσβείαις σου.

Δόξα... Καὶ νῦν. **Θεοτοκίον,** ὅμοιον.

Πλατυτέρα ἐδείχθης τῶν Οὐρανῶν, ἀνωτέρα κτισμάτων πνευματικῶν· Χερουβίμ, Σεραφίμ τε καὶ τῶν ἄλλων Δυνάμεων· αἳ ὑμνοῦσι ἀπαύστως Τριάδα τὴν Ἄκτιστον· μετὰ δέους ὁρῶσαι τὸ Κάλλος τὸ ἄρρητον· ἧς τὰ δευτερεῖα, ὦ Παρθένε κατέχεις, ὡς οὖσα Πανάμωμος, Παγκαλὴς καὶ Πανάσπιλος, διὰ τοῦτο βοῶμέν Σοι· δέξαι ὡς Μητέρα τοῦ Φωτός, τὰς λιτὰς Σωφρονίου τοῦ δούλου Σου, ὑπὲρ πάντων ἡμῶν Παναμώμητε.

Μετὰ τὸν Πολυέλεον.

**Κάθισμα. Ἦχος δ΄.** Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τετρωμένος ἐν βαθείᾳ καρδίᾳ, τῇ ταπεινώσει τοῦ Ἀμνοῦ καὶ Σωτῆρος, αὐτομεμψίαν σύντροφον ἀπέκτησας σοφέ, Ἅγιε Σωφρόνιε, μιμητὰ τοῦ Κυρίου, ἄστρον τὸ τοῦ Πνεύματος ἐν Βορρᾷ διαλάμπον· ὑπὲρ ἡμῶν δυσώπει τὸν Χριστὸν ὅπως παράσχῃ, πταισμάτων συγχώρησιν.

Δόξα... Καὶ νῦν. **Θεοτοκίον,** ὅμοιον.

Σὲ τὴν Παρθένον καὶ Μητέρα τοῦ κόσμου, τὴν τῶν Ἀγγέλων ὑπερέχουσαν πάντων, Σὲ ἀνυμνοῦμεν ἅπαντες οἱ δοῦλοί σου Ἁγνή· αἶνόν σοι προσάγοντες ἐν βαθείᾳ καρδίᾳ, ἅμα σοὶ προσπίπτοντες καὶ θερμῶς ἐκζητοῦντες· ὑπὲρ ἡμῶν δυσώπει σὸν Υἱόν, ὅπως ῥυσθῶμεν πυρὸς τῆς κολάσεως.

**Οἱ Ἀναβαθμοί. Τὸ α´ ἀντίφωνον τοῦ δ´ ἤχου·**
Ἐκ νεότητός μου.

**Προκείμενον·**

Τίμιος ἐναντίον Κυρίου
ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

**Στίχος·** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εἶτα τό·** Πᾶσα πνοὴ **καὶ Εὐαγγέλιον,**
τὸ Ὁσιακόν (βλέπε τῇ ε´ Δεκεμβρίου).

Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Ὁ Ν΄ ψαλμός,** Ἐλέησόν με ὁ Θεός.

**Δόξα.** Ταῖς τοῦ σοῦ Ὁσίου...

**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου...

**Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ. β΄. Ἀνατολίου.**

**Στίχ.** Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, δι᾽ ὧν ἐν τοῖς οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων πρὸς Κύριον, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

## Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου ὁ ἑξῆς, οὗ ἡ ἀκροστιχίς:

Τῷ τῆς Ταπεινώσεως Ἄρχοντι, αἴνεσις. Σ. μ.

**ᾨδὴ α΄. Ἦχος πλ. β΄.** Κύματι θαλάσσης.

Τίνα λόγον εὕρω, κατάλληλον, πάτερ, ἐγκωμιάσαι σε· ὑπὲρ νοῦν ἔλαμψεν ὁ σὸς Θεάρεστος βίος· ἀλλὰ δίδου μοι συγχώρησιν καὶ τὸν νοῦν σωφρόνισον εἰπεῖν τὰ σὰ θαυμάσια.

Ὢ τοῦ μεγαλείου, τῆς σῆς κατὰ πάντα Θεῷ κενώσεως· πυρωθεὶς ἄνωθεν ὑπὸ Πατρὸς Προανάρχου, Ὃν ἐζήτεις ὄντως εὕρηκας καὶ ὡς Μωσῆς τὸ πρότερον «ἐγώ εἰμι» ἀκήκοας.

Τέτρωται βαθέως, καρδία γλυκεῖα σου πάτερ Ὅσιε· καὶ νυγεὶς ἄνωθεν τῆς μετανοίας τῷ βέλει, στεναγμοῖς τε καὶ δάκρυσι τῷ Χριστῷ προσήνεγκας σὴν θείαν ὁλοκάρπωσιν.

**Θεοτοκίον.**

Ἥλιον τῆς δόξης, γεννήσασα Κόρη Θεογεννήτρια· ὑπὲρ γῆν ὕψωσας τὴν πεπτωκυῖαν εἰκόνα,

τοῦ Υἱοῦ σου, ὦ Πανάμωμε, Ὃν τανῦν ἱκέτευε ὑπὲρ ἀχρείων δούλων Σου.

**Ὠδὴ γ΄.** Σὲ τῶν ἐπὶ ὑδάτων.

Σήμερον συνελθόντα, τὰ τέκνα σου, ὦ πανάγιε πάτερ, σὸν βίον κατιδόντα θάμβει πολλῷ συνέχονται· Θεὸς Πανάγιος, ἐν σοὶ πάτερ κατεσκήνωσεν.

Τέτρωσαι Θείῳ πόθῳ, νυγείσης σου τῆς καρδίας ἐνθέως, δι' ὃ τοῖς δάκρυσί σου ἃ ὡς κρουνοὶ ἔβλυσαν· Σὺ εἶ μόνος Ἅγιος, ὁ Σωτὴρ ἡμῶν ἐκραύγαζες.

Ἄνω ἐν τῇ καρδίᾳ, ξενίζων τοῦ θανάτου τὴν μνήμην· καὶ νήφων καθ' ἑκάστην ἐν ἐγρηγόρσει ἐκραύγαζες· οὐκ ἔστιν Ἅγιος πλὴν σου Κύριε, Φιλάνθρωπε.

**Θεοτοκίον.**

Πένθους χαροποιοῦ σε, γνωρίζομεν χορηγόν σε Παρθένε, σὺ γὰρ ὡς τεκοῦσα τὸν τὰς καρδίας γινώσκοντα· δῶρον πανάγιον πᾶσι χορηγεῖς τοῖς αἰτοῦσί σε.

## Κάθισμα.

**Ἦχος πλ. δ΄.** Τὴν Σοφίαν καὶ Λόγον.

Μετανοίας ἄσβεστος ὁ κλαυθμός, ἐντολῶν δὲ ἡ τήρησις ἀκραιφνῶς· σύνοικοι γεγόνασι τῇ καρδίᾳ σου ἅγιε· μεθ' ὧν ἱερατεύων τῇ ψυχῇ ἱερώτατε, ἀνεδείχθης θεῖος λειτουργὸς τοῦ Κυρίου σου· ὡς σοὶ διηνοίχθη τὸ μυστήριον τοῦτον, ἐγγὺς ὡς ἐβίωσας τοῦ Θεοῦ τὴν παράστασιν, ἐν ἐρήμῳ βοῶντός σου· τὸ Ὄνομα τὸ Ἅγιον Αὐτοῦ, δι' Οὗ σύμπασα κτίσις εὐφραίνεται καὶ δοξάζει Θεὸν Πανοικτίρμονα.

Δόξα... Καὶ νῦν. **Θεοτοκίον,** ὅμοιον.

Ὦ Μητέρα τοῦ Πάντων Δημιουργοῦ, Πλατυτέρα τῆς γῆς καὶ τοῦ Οὐρανοῦ· Ἄσπιλε, Ἀμόλυντε, Ἀπειρόγαμε Δέσποινα, τὴν θερμὴν πρεσβείαν τῶν Σῶν δούλων ὑπόδεξαι· καὶ ὡς Μήτηρ οὖσα τῷ Υἱῷ Σου προσάγαγε· ἄφεσιν πταισμάτων ἐκζητοῦσα Παρθένε, λαοῦ ἁμαρτάνοντος καθ' ἑκάστην καὶ ἔχοντος, μόνην Σὲ καταφύγιον· πρεσβείαις τοῦ Ὁσίου Ἀσκητοῦ, Σωφρονίου ἄρτι διαλάμψαντος καὶ τοῖς θείοις αὐτοῦ λόγοις τὸν κόσμον φωτίσαντος.

**Ὠδὴ δ΄.** Τὴν ἐν Σταυρῷ σου.

Ἐν τῷ Σταυρῷ Χριστοῦ θεώμενος, τύπον θείας ζωῆς, ἀκολουθῶν ἐβόας· Σὺ δυναστῶν διέκοψας κράτος Ἀγαθέ, ταπεινώσει οἰκείᾳ ὢν Παντοδύναμος.

Ἰδεῖν Χριστοῦ ἠξίωσας, Ἀνεσπέρου Αὐγῆς θείαν φωτοχυσίαν, ἧς κοινωνοὺς βουλόμενος πάντας ἀγαθέ, ὁμιλῶν καθοδηγεῖς, ὢν Ταπεινώτατος.

Νοεῖς Θεοῦ κελεύσματι, ὁδηγεῖς τοὺς πιστούς, σοφῇ διδασκαλίᾳ· Θείας ζωῆς φανέρωσιν πᾶσαι αἱ ἐντολαί, χορηγοῦσι τοῖς ἀνθρώποις ἐφαρμοζόμεναι.

**Θεοτοκίον.**

Ὡραία Νύμφη Πάγκαλε, τοῦ Δεσπότου Χριστοῦ σκεῦος λελευκασμένον, ἐν ᾧ οἰκεῖν ηὐδόκησε Φῶς τὸ ἐκ Φωτός, κοινωνῶν τοῖς ἀνθρώποις, ὡς Ὑπεράγαθος.

**Ὠδὴ ε΄.** Θεοφανείας σου Χριστέ.

Σοφῶς ἐδίδαξας ἡμῖν, τῆς σωτηρίας ὁδοὺς ἐξαγγέλων, μετανοίᾳ δίδων τὸ ἀξίωμα τὸ καινοὺς βροτοὺς ἀπεργαζόμενον· αὐτομίσος ζήσας τῇ ψυχῇ καὶ ἑαυτὸν μεμφόμενος ἐν πᾶσι· διὸ ἐμφανείας τοῦ Φωτός, πάτερ ἠξίωσαι.

Ἔλαμψεν ἥλιος λαμπρός, Σιλουανὸς ἐν Ἁγίοις ὁ μέγας, σὲ φωτίζων θείαις ἐπιγνώσεσιν, ὃς παθὼν τὰ θεῖα σὲ ἐδίδασκεν· εἰς τὸν ᾅδην κράτει σου τὸν νοῦν καὶ συγχρόνως μηδόλως ἀπελπίζου καὶ ὄψει τοῦ Θεοῦ τὴν ἐπιφάνειαν.

Ὡραϊσμένος ἀγαθέ, κεκαθαρμένος τῶν δακρύων τοῖς ρείθροις, Ἰησοῦν παθόντα ἠκολούθησας, πράξει οὖν ἡμᾶς πάντας ἐδίδαξας· ἀπαρνεῖσθαι θέλημα σαρκὸς καὶ ἐν τηρήσει ἁγίων ἐντολῶν, «καθώς ἐστιν Αὐτὸν ὀψόμεθα».

**Θεοτοκίον.**

Σῶσαι βουλόμενος θνητούς, Λόγος Πατρὸς πρὸς ἡμᾶς ἐπεφάνη, κατελθὼν ἐν μήτρᾳ σου Πανάμωμε, ὅθεν καὶ ἡμεῖς σεπτῶς γεραίρομεν· σὺ εἶ ἡ βάτος ἣν κατεῖδε Μωϋσῆς, τῆς Θεότητος τὸ πῦρ δεχθεῖσα καὶ μὴ φλεχθεῖσα, Παναμώμητε.

**ᾨδὴ ϛ΄.** Συνεσχέθη, ἀλλ᾽ οὐ κατεσχέθη.

Ἀνυψώθης, πανάγιε πάτερ, τῇ ταπεινώσει κατελθών· Ἰησοῦ γὰρ τὸν τύπον φέρων τοῦ παθόντος καὶ ταφῇ δοθέντος, Σιλουανοῦ τῇ θειοτάτῃ συμβουλῇ, τηρήσας τὸν νοῦν σου εἰς τὸν ᾅδην, αὐτομεμψίαν τε κρατῶν διηνεκῆ, γέγονας Θεοῦ κατοικητήριον.

Ῥήματά σου, Θεοῦ κοινωνίαν, πάτερ τοῖς τέκνοις σου ποιεῖς· σφοδρὴ γὰρ ἡ βούλησίς σου, τοῦ πληρῶσαι ἐντολὰς τὰς θείας, περὶ θλίψεων ὁμιλεῖς καὶ ἀσθενειῶν· δι᾽ ἀμφοτέρων γὰρ μόνον ταπεινοῦται φύσις βρότειος καὶ θεοπρεπῶς καινίζεται.

Χαρισμάτων, πολλῶν ἠξιώθης, θεοπρεπῶς κεκοπιακώς· τιμὴν γὰρ ἠρετίσω, τῆς κοινωνίας τῶν Παθῶν Κυρίου, κατὰ τοῦ Παύλου τὴν σοφὴν ὑπόδειξιν· ὑμῖν γὰρ ἐχαρίσθη οὐ μόνον τὸ πιστεύειν εἰς Χριστόν, ἀλλὰ τὸ πάσχειν ὑπὲρ Αὐτοῦ.

**Θεοτοκίον.**

Ὁλοψύχως σὲ πάντες τιμῶμεν, Ἄχραντε Μῆτερ τοῦ Θεοῦ· σοῦ γὰρ τὸ εἶναι γέμον καθαρότητος καὶ παρθενίας, ἀρχαγγέλου τῆς φωνῆς ἠξίωται· ὑπετάγης δὲ Βουλῇ ἁγίᾳ, ἑνοποιήσασα γῆν καὶ τὸν Οὐρανόν, ὅθεν πᾶσαι αἱ γενεαὶ σὲ μακαρίζομεν.

## Κοντάκιον.

**Ἦχος γ΄.** Ἡ Παρθένος σήμερον.

Πυρωθεὶς τῷ Πνεύματι, Ὃ ἐξεζήτησας πόθῳ, ὅλος πῦρ θεόληπτε, ἐκ μετοχῆς ἐγεγόνεις, εἶδες γάρ, ὡς δυνατὸν ἰδεῖν ἀνθρώποις, Φῶς Χριστοῦ, καὶ ἐνεπλήσθης πολλῶν χαρίτων, Δι᾽ ὧν πᾶσαν Ἐκκλησίαν, καταφωτίζεις, παμμάκαρ Σωφρόνιε.

## Ὁ Οἶκος.

Τὸν τιμηθέντα δι᾽ Αὐγῆς Θεοφανείας
καὶ Ἀνεσπέρου διαυγοῦς Φωτοχυσίας·
τὸν κατελθόντα εἰς τὸν ᾅδην τῆς κενώσεως,
ἐν τῇ μιμήσει τῆς Χριστοῦ συγκαταβάσεως,
Σωφρόνιον τὸν μέγαν ἀνευφημοῦμεν·
Πλοῦτον γὰρ ἐνδυθεὶς τῆς Ταπεινώσεως,
ἐπληρώθη περισσῶς τῆς Θείας Γνώσεως,
διανοίγων ἡμῖν τρίβους μετανοίας,
πρὸς ὃν κράζομεν· χαίροις παμμάκαρ Σωφρόνιε.

## Συναξάριον.

Τῇ ΙΑ´ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας ἐνδόξου μεγαλοπαρθενομάρτυρος καὶ πανευφήμου Εὐφημίας.

### Στίχοι

Δίκαζε, μάρτυς, τοῖς ὅροις, καὶ κειμένη,
κυροῦσα πίστιν, ἧς ἐνήθλησας πόθῳ.
Θέσκελον ἑνδεκάτῃ Ὅρον ἐμπεδοῖ Εὐφημίη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Κινδέου τοῦ Πρεσβυτέρου.

### Στίχοι

Οὐκ ἄξιόν τι καύσεως ὅλως ἔχων, σωθεὶς
πυρὸς τέθνηκας οὕτω, Κινδέε.

Ὁ ὅσιος Λέων, ὁ ἐν τῇ Μάνδρᾳ, ἐν εἰρήνῃ τελειοῦται.

### Στίχοι

Ἐκ γῆς ἀπελθὼν ἐντρυφᾷ τερπνοῖς Λέων,
ὧν εἶχεν ἐν γῇ τὰς ἀποῤῥοίας πάλαι.

Οἱ ἅγιοι μάρτυρες Μαρκιανὸς καὶ Μαρτυροκλῆς ὁ μὲν μαχαίρᾳ, ὁ δὲ τοξευθεὶς τελειοῦνται.

### Στίχοι

Ὑπῆρξε θήκη, Μαρκιανέ, σὸς φάρυγξ,
χωροῦσα τὴν μάχαιραν, ᾗ κατεκρίθης.

Ὁ Μαρτυροκλῆς Μαρτύρων εὗρε κλέος,
Μάρτυς φανεὶς ἄριστος ἐκ τοξευμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας ἐνδόξου ἰσαποστόλου Ὄλγας, βασιλίσσης τῆς Ῥωσσίας.

## Στίχοι

Ἄνθραξ νοητὸς ἡ Ὄλγα ἐν Ῥωσσίᾳ ὤφθη,
τῆς ὕστερον φλογὸς ζωηφόρου.

Ὁ ὅσιος Νικόδημος, ὁ ἐν τοῖς ὁρίοις τῆς τοῦ Βατοπεδίου ἱερᾶς Μονῆς ἀσκήσας, καὶ διδάσκαλος τοῦ θείου Γρηγορίου τοῦ Παλαμᾶ χρηματίσας, διὰ τῆς κατὰ Χριστὸν φιλοσοφίας, ἐν εἰρήνῃ τελειοῦται.

## Στίχοι

Πῶς ἀγέραστον καταλίπω τοῖς λόγοις
τὸν Νικόδημον, ᾧ γέρας νῆψις νόου;

Ὁ ἅγιος νέος ὁσιομάρτυς Νικόδημος, ὁ ἐν Ἐλβασανίῳ τῆς Ἀλβανίας μαρτυρήσας ἐν ἔτει 1722, ξίφει τελειοῦται.

## Στίχοι

Ὁ Νικόδημος ῥάβδον ἐν χερσὶ φέρων,
πλάνην πατάσσει Ἀγαρηνῶν ἀνόμων.

Ὁ ἅγιος νέος ὁσιομάρτυς Νεκτάριος Ἁγιαννανίτης, ὁ ἐκ Βρυούλλων, ὁ μαρτυρήσας ἐν ἔτει 1820, ξίφει τελειοῦται.

### Στίχοι

Τὸν σταυρὸν αἴρων Νεκτάριος Κυρίου,
πλάνην πατάσσει τῶν ἀπίστων γενναίως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυρίλλου τοῦ Παρίου (+1833).

### Στίχοι

Κύριον ζητῶν Κύριλλος ἐξασκήσας,
Κύριον ὁρᾷ αὐτῷ ἠγαπημένον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σωφρονίου, τοῦ Ἀθωνίτου, Ἱδρυτοῦ καὶ Κτίτορος τῆς ἐν Βρεττανίᾳ Ἱερᾶς Πατριαρχικῆς καὶ Σταυροπηγιακῆς Μονῆς τοῦ Τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἔνθα καὶ ἐκοιμήθη ὁσιακῶς ἐν Κυρίῳ τῇ 11ῃ Ἰουλίου τοῦ σωτηρίου ἔτους χιλιοστοῦ ἐννεακοσιοστοῦ ἐνενηκοστοῦ καὶ τρίτου.

### Στίχοι

Θρῆνος μετανοίας ἐκ πηγῶν τῆς καρδίας,
Ῥέει πνευματέμφορος, μεστὸς Φωτοχυσίας.
Θεσπεσίοιο πόλου ἑνδεκάτη
Σωφρόνιος ἔνδον εἰσῆλθε.

Σωφρόνιος ὁ θεόφρων καὶ θεοφόρος πατὴρ ἡμῶν ἐγεννήθη τῷ χιλιοστῷ ὀκτακοσιοστῷ ἐνενηκοστῷ καὶ ἕκτῳ ἔτει ἐν Μόσχᾳ τῆς ἁγιοτόκου Ῥωσίας, ἔνθα καὶ τοὺς τῆς νεότητος χρόνους αὐτοῦ διῆλθεν. Ὑπῆρξε γόνος εὐλαβοῦς οἰκογενείας, ἀνατραφεὶς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, καὶ ἠξιώθη κατὰ τὴν νηπιακὴν αὐτοῦ ἡλικίαν τῆς θεωρίας τοῦ ἀκτίστου Φωτός. Ἐσπούδασεν εἰς τὴν ἐν Μόσχᾳ Ἀνωτάτην Σχολὴν Καλῶν Τεχνῶν μεταβὰς ἀκολούθως καὶ εἰς Παρισίους, ἐν οἷς καὶ ἤσκησε τὴν ζωγραφικὴν τέχνην.

Ἀναζητήσας ὡς νεανίας μετὰ πόθου πολλοῦ τὴν γνῶσιν τοῦ ἀπολύτου Ὄντος, ἐστράφη πρὸς ὥραν εἰς τὸν μυστικισμὸν τῶν Ἀνατολικῶν θρησκειῶν, ἀλλ᾽ οὐδαμῶς ἀναπαυόμενος ἐν τῇ ἀπάτῃ αὐτῶν, ἀνεκάλυψε τὴν τοῦ Εὐαγγελικοῦ νόμου τῆς ἀγάπης ὑπεροχὴν ὡς κοινωνίαν ἐν τῇ ὑπάρξει μετὰ τοῦ προσωπικοῦ Θεοῦ τοῦ Χριστιανισμοῦ, γνοὺς Αὐτὸν ἐν Πνεύματι Ἁγίῳ, διὰ τοῦ βιβλικοῦ κειμένου τῆς ἐν Σινᾷ ἀποκαλύψεως «Ἐγώ εἰμι ὁ Ὤν».

Μεταμεληθεὶς πικρῶς διὰ τὴν νεανικὴν αὐτοῦ πλάνην καὶ φέρων ἐν τοῖς ἐγκάτοις αὐτοῦ τὸ τῆς τοῦ θανάτου μνήμης χάρισμα, ἔλαβε καὶ πάλιν ἐκ Θεοῦ τὴν δωρεὰν τῆς θέας τοῦ ἀκτίστου θείου Φωτός. Ὅθεν ἐπεδόθη εἰς ἀκράτητον προσευχὴν μετανοίας, συντρίβουσαν καὶ αὐτὰ τὰ ὀστέα αὐτοῦ. Προσήνεγκε «δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων» (*Ἑβρ.* 5,7). Ἔνατον δὲ καὶ εἰκοστὸν ἔτος ἄγων καὶ διώκων «ἵνα καταλάβῃ ἐφ᾽ ᾯ καὶ κατελήφθη» (*Φιλ.* 3,12), ἀπετάχθη τοῖς βιωτικοῖς καὶ ἀνεχώρησε πρὸς τὸ κλεινὸν Ὄρος τοῦ Ἄθω, τὸν μοναχικὸν ζυγὸν ὑποδὺς ἐν τῷ Μοναστηρίῳ τοῦ Ἁγίου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος.

www.tezaurliturgic.ro

Ἐν τῇ Μονῇ ταύτῃ ὁ πανελεήμων Θεὸς ἐχαρίσατο αὐτῷ πιστὸν ὁδηγὸν καὶ φύλακα ἄγγελον, τὸν πρᾷον καὶ ταπεινὸν τῇ καρδίᾳ Σιλουανὸν τὸν Ἀθωνίτην, τὸν διάπυρον πρὸς Θεὸν μεσίτην ὑπὲρ σωτηρίας πάντων ἀνθρώπων καὶ κήρυκα τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης. Ὁ ἀοίδιμος Γέρων ἐθεώρει τὴν μετὰ τοῦ Ὁσίου Σιλουανοῦ ὑπάντησιν ὡς τὴν μεγίστην πρὸς αὐτὸν δωρεὰν ἐκ Θεοῦ. Ὁ μακάριος Σιλουανὸς ἐγένετο δι᾽ αὐτὸν «ζῶν μάρτυς», βεβαιώσας αὐτὸν διὰ τὸ τῆς μετανοίας πνεῦμα, οὗ ἐνεφορεῖτο καὶ κατέστη δι᾽ αὐτὸν πρότυπον μοναχικῆς τελειότητος. Οὕτως ὁ θεράπων τοῦ Θεοῦ Σωφρόνιος κατέστη ἀκλινὴς ἐν τῇ ἀσκητικῇ αὐτοῦ τρίβῳ, καὶ ἠκολούθησε τὸν Κύριον ἀποθνήσκων μετ᾽ Αὐτοῦ. Ὁμοιωθεὶς δὲ πλήρως πρὸς Αὐτὸν κατὰ τὰ παθήματα, συνανέστη μετ᾽ Αὐτοῦ, δεξάμενος «τοιοῦτον φῶς, τοιαύτην δύναμιν ζωῆς καὶ σοφίαν», ἅτινα μόνον παρὰ τῆς Πηγῆς τοῦ φωτὸς καὶ τῆς ζωῆς δύνανται προελθεῖν.

Ἀκολούθως, μετὰ τὴν ἐκδημίαν τοῦ Γέροντος Σιλουανοῦ καὶ τῇ εὐλογίᾳ τῆς Μονῆς τῆς μετανοίας αὐτοῦ, μετέβη εἰς τὴν ἔρημον τοῦ Ἄθω, ἵνα ἐν ἀδιαλείπτῳ καὶ ἀπαρακλήτῳ μετανοίᾳ ζήσῃ, ἔνθα ὁδηγηθεὶς σὺν Θεῷ ἔφθασεν εἰς τὸν εὔδιον λιμένα τῆς τοῦ Πνεύματος ἀπαθείας.

Τὰ ἐν Ἁγίῳ Ὄρει κληθέντα «φρικτὰ Καρούλια» ἐδέχθησαν τὸν ἀθλητὴν τοῦ Χριστοῦ καὶ «ἔφριξαν» ἐκ τοῦ κλαυθμοῦ τοῦ ἐκπορευομένου ἐξ ὅλης τῆς ὑπάρξεως αὐτοῦ. Διῆλθεν ἐν ὀδυνηραῖς πορείαις, ἐν ποικίλαις θλίψεσι καὶ Ἰωβείῳ ὑπομονῇ. Ἐν τῇ ζέσει τῆς βαθυτάτης αὐτοῦ μετανοίας ἐβίωσεν ἐν Χάριτι τὰς τοῦ ᾅδου φλόγας καὶ στένων οὐκ ἔπαυε λέγων μετὰ τοῦ Προφητάνακτος: «Περιέσχον με ὠδῖνες θανάτου... καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισεν» (*Ψαλμ.* 17,5 καὶ 87,4). Ὅθεν καὶ ἔτι εὐλογηθεὶς παρὰ τοῦ Ἁγίου Θεοῦ, ἠξιώθη ἀναβῆναι καὶ ἐν

www.tezaurliturgic.ro

αὐτῷ τῷ τῆς θεοπτίας ὄρει, καὶ τὴν τοῦ ἀκτίστου Φωτὸς δόξαν ἰδεῖν ἐν τῇ τεθεωμένῃ τοῦ Λόγου σαρκί, διὸ καὶ εἰς βαθυτάτην κοιλάδα ταπεινώσεως ἐκ τῆς θεοπτίας κατελήλυθε, γενόμενος οὕτω σημεῖον τοῦ Θεοῦ διὰ τὴν γενεὰν αὐτοῦ, διδούς, νεύματι Θείῳ, διεξόδους ζωῆς πᾶσιν ἀνθρώποις.

Καίτοι ὁ Γέρων ἐπεθύμει τελειῶσαι τὴν ζωὴν αὐτοῦ εἰς τὸν ἱερὸν Ἄθω, ἡ ἀνεξιχνίαστος Πρόνοια τοῦ Θεοῦ μετέθηκεν αὐτὸν ἐν τῇ Δύσει, ἔνθα ἔμελλε λάμψαι οὐχὶ ὡς λύχνος ἀλλ᾽ ὡς ἀστὴρ ὑπέρλαμπρος, ὁδηγῶν εἰς τὸ τῆς θεογνωσίας φῶς πλῆθος ἀπηλπισμένων ἀνθρώπων, ἀναζητούντων τὸν Κύριον.

Καταφυγὼν πρὸς τὴν τῶν Βρεττανῶν νῆσον, ἵδρυσεν ἀληθῶς «μίαν καινὴν πολιτείαν, ἓν νέον ὑπερῷον τῆς Πεντηκοστῆς», γενόμενος κτίτωρ καὶ πνευματικὸς πατὴρ τῆς Ἱερᾶς Πατριαρχικῆς καὶ Σταυροπηγιακῆς Μονῆς τοῦ Τιμίου Προδρόμου, ἐν ᾗ ἐν πολλοῖς κόποις, ποικίλοις παθήμασι καὶ δυσδιηγήτῳ πτωχείᾳ, ἔτι πλεῖον ἐπεδόθη εἰς τὴν ἐν Χριστῷ οἰκοδομήν, τῶν τε ἐμπεπιστευμένων αὐτῷ ψυχῶν, ἀλλὰ καὶ τῶν ὁσημέραι πληθυνομένων καὶ ὡς ἐν ἀειῤῥόῳ πηγῇ προστρεχόντων προσκυνητῶν, νυμφαγωγὸς γενόμενος πρὸς τὸν κεκοσμημένον νυμφῶνα τοῦ οὐρανίου νυμφίου Χριστοῦ, ἐν λόγοις καὶ ἔργοις, ἐν ἀναστροφῇ καὶ ἀγάπῃ, ἐν διδαχαῖς ποικίλαις καὶ προσευχῇ ἀδιαλείπτῳ.

Ἡ ὑπὸ τοῦ Γέροντος προσφερομένη ἀναίμακτος μυσταγωγία, ὡς ἀνεπανάληπτον ἑκάστοτε γεγονός, συνεκλόνιζε πάντας τοὺς μετέχοντας. Μετὰ δυνάμεως ψυχικῆς πολλῆς καὶ αἰσθήσεως βαθυτάτης ἀγγελοπρεπῶς τὴν Θείαν Λειτουργίαν ἐτέλει, ἥτις τὸν γλυκασμὸν τῆς ὁλονὲν προϊούσης πνευματικῆς πορείας αὐτοῦ συνεκρότει. Λειτουργῶν προσέφερε θυσίαν καὶ ἐν ταὐτῷ προσεφέρετο ὡς ἐξίλασμα ὑπὲρ τῶν ἁμαρτιῶν σύμπαντος κόσμου.

www.tezaurliturgic.ro

Χαρισματικὴ ἡ θεολογία αὐτοῦ, ἥτις καὶ τρανῶς ἐδόξασεν αὐτόν, ἀληθῶς ἐκ καρδίας πεφωτισμένης προῆλθε, διὰ τῆς ἐλλάμψεως τοῦ ἀκτίστου θείου Φωτός· διὸ καὶ τὰ συγγράμματα αὐτοῦ φιλοκαλικὴν εὐωδίαν ἀποπνέουσι καὶ ἀκριβείας γνώμονα συνιστῶσι, πυξίδα ἀσφαλείας, ταμιεῖα κεκτημένης γνώσεως, χαριζούσης πληροφορίαν χάριτος καὶ ἐλπίδος.

Φορεὺς οὐ τοῦ τυχόντος χαρίσματος τῆς διακρίσεως πέλων, πολλάκις «τὰ ἐν ἄλλοις σκοτεινῶς ἐνυπάρχοντα, τῷ ἑαυτοῦ λύχνῳ κατεφώτιζε» (Ἰω. Σιναΐτου, *Κλῖμαξ*, *Λόγος* 26, 1). Πεπληρωμένος δὲ θείας σοφίας, ἄκρας διακρίσεως καὶ βαθείας ἀγάπης πρὸς πάντα ἄνθρωπον, ἠξιώθη καὶ τῶν χαρισμάτων τῆς θαυματουργίας, τῶν ἰαμάτων τε καὶ τῆς προοράσεως, ἀόκνως ἐργασθεὶς διὰ τὴν στερέωσιν τῆς πίστεως εἰς Θεόν· ταπεινοφρονῶν δὲ πᾶσαν οὐρανόδωρον εὐλογίαν ἀπέδιδεν Αὐτῷ. Ἰσοβίως δὲ πάσχων καὶ ὑπὸ τοῦ σκόλοπος πολλῶν ἀσθενειῶν δοκιμαζόμενος, εἰς βαθύτατον γῆρας ἐληλακώς, ἄχρι τέλους τὸ εὔχαρες καὶ εἰρηναῖον τοῦ χαρακτῆρός τε καὶ τὴν σοφίαν τοῦ Πνεύματος ἐτήρει.

Οὕτω πως ὡς δρῦς ὑψικάρηνος καὶ ναῦς πολύφορος ἀρετῶν θείων καὶ χαρισμάτων πολλῶν πλησθείς, ἐν εἰρήνῃ ἀπῆλθε πρὸς τὸν Θεὸν τῶν Πατέρων αὐτοῦ, παραδοὺς τὸ πνεῦμα, κατὰ τὴν πρωΐαν τῆς τοῦ Κυρίου ἡμέρας, ἑνδεκάτης μηνὸς Ἰουλίου, ἔτους χιλιοστοῦ ἐννεακοσιοστοῦ ἐνενηκοστοῦ καὶ τρίτου. Πλήρης ἡμερῶν καὶ χάριτος, προειδὼς τὸν τῆς τελευτῆς αὐτοῦ καιρόν, ἠξιώθη ὁσιακῆς κοιμήσεως. Κατέλιπε δὲ τῇ Ἐκκλησίᾳ τὸν ἀνεκτίμητον πλοῦτον τῶν ἐν ταῖς βίβλοις αὐτοῦ πνευματικῶν διδασκαλιῶν ἀποτεθησαυρισμένον. Ταφεὶς δὲ ἐν τῇ τοῦ κοιμητηρίου τῆς Ἱερᾶς αὐτοῦ Μονῆς κρύπτῃ, οὐ διαλείπει εὐεργετῶν διὰ σημείων καὶ θαυμάτων, τοὺς ἐν πίστει

αὐτῷ προσερχομένους καὶ ἐπικαλουμένους τὴν ἀκαταίσχυντον αὐτοῦ μεσιτείαν πρὸς Κύριον.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ἄφραστον θαῦμα.

Νοΐ, καρδίᾳ, σῇ ὑποστάσει δεξάμενος τὸν τρωθέντα λόγχῃ τὴν πλευράν· ἐτρώθης σφοδρῶς θείας ἀγαπήσεως, ἀναλωθεὶς δι' αὐτὴν ᾄδων προφρόνως· Ἰησοῦ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Τέτρωσαι ὅλος τῆς μετανοίας τῷ καύσωνι, ὡς ἀδίκως πλήξας τὸν Χριστόν· καὶ ὄμβρῳ πολλῷ θείας κατανύξεως, δι' Ἀνεσπέρου Φωτὸς κατελαμπρύνθης· Λυτρωτά, ἀναφωνῶν, ὁ Κύριός μου!

Ἱερουργήθη, τῇ σῇ καρδίᾳ μυστήριον, Εὐαγγελίου στέργων Ἐντολάς· ἀγάπῃ πολλῇ πάντοτε κενούμενος, δηλοποιῶν λαοῖς τοῖς ἀμυήτοις· Ἄκτιστον Φῶς, αἱ Ὑποθῆκαι αἱ τοῦ Κυρίου.

**Θεοτοκίον.**

Ἄφραστον θαῦμα, πῶς ἐν γαστρί σου ἐξένισας, τὸν κοσμήσαντα ἄστροις Οὐρανόν, καὶ οἴκτῳ

πολλῷ σάρκα προσλαβόμενον, εἰς σωτηρίαν ἡμῶν τῶν σὲ ὑμνούντων· χαῖρε Ἁγνή, τῶν πιστῶν ἡ σωτηρία.

**Ὠδὴ η´.** Ἔκστηθι φρίττων Οὐρανέ.

Ἱερουργεῖς σῇ βιοτῇ, τῷ Παντοκράτορι ἐν καρδίας τοῖς μυχοῖς· θερμῇ γὰρ προσευχῇ ἐκδαπανώμενος καὶ συντριβῇ καθαρᾷ ὁρᾷς διηνεκῶς κάλλος Θεῖον· ὃ παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Νοεῖν οὐδόλως ἐφικτόν, Θεοῦ τὸ Πρόσωπον τοῖς κοινοῖς ἡμῖν θνητοῖς· ἐὰν τὰς Ἐντολὰς Αὐτοῦ τηρήσωμεν, κατὰ τὴν σὴν διδαχήν, ἀγάπην πρὸς Θεὸν καὶ τὸν πλησίον· Ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, ὀψόμεθα ὡς εἶναι.

Ἐνθεωρεῖται ἀρετή, Ἁγίῳ Πνεύματι ἐνοικοῦσα σῇ ψυχῇ· ἀνδρεία, σωφροσύνη, σύνεσις, ἐν ταπεινώσει πολλῇ, ὡς λίκνῳ καινῷ ξενοδοχεῖται· χάρις καρπογονεῖται, Πνεύματι καινουργεῖται, ὅλος Ἀδὰμ καινοῦται τῇ σῇ, πάτερ, θυσία.

**Θεοτοκίον.**

Σῶσαι βουλόμενος βροτούς, ὁ Πανοικτίρμων σοῖς λαγόσιν ἐνοικεῖ· ταπείνωσιν Αὐτοῦ μιμούμενος,

τὴν ἄρσιν βάρους τοῦ ἀδελφοῦ, Σωφρόνιος ὁ ἅγιος πατὴρ ἡμῶν διδάσκει· Μῆτερ Ὑπερυψίστου, οὗ τὰς εὐχὰς προσδέχου καὶ ταύτας τῷ Υἱῷ σου προσάγαγε ἐν τάχει.

**Ὠδὴ θ΄.** Μὴ ἐποδύρου μου, Μῆτερ.

Ἱεροφάντωρ ἐγένου, καθορῶν θεῖον γνόφον, οὗ ἠξιώθης, ταπεινέ, μεμφόμενος σαυτόν· ἐλαχίστοις γὰρ Θεὸς ὀπτάνεται, τοῖς μισοῦσιν ἁγίως τὸ φύραμα ἑαυτῶν καὶ ἐν πίστει διψῶσι Θεοῦ τὴν Ἐπιφάνειαν.

Σὴ ψυχὴ κατελήφθη θείου φόβου ἁγίου· ὑπεροχῆς γὰρ τὴν φορὰν ὡς ἑωσφορικήν, θεωρήσας σοφῶς, ὦ ὁσιώτατε, καὶ ἀπέχθειαν θείαν βιώσας ἀληθῶς, ἀπαθείας τῷ ὕψει σεμνῶς προσήγγισας.

Συναντήσας τὸν Ζῶντα, μετανοίας δακρύοις· στέρησιν ἔφης φοβερὰν τὴν ἄγνοιαν Θεοῦ· δωρεὰ δὲ μεγαλυτέρα οὐχ ὑπάρχει, τῆς Θεοῦ κοινωνίας, ὡς οἶδας ἀγαθέ, καὶ τοῖς πιστοῖς παραδέδωκας.

**Θεοτοκίον.**

Μὴ ὑπερίδῃς, ὦ Μῆτερ, τὰς λιτὰς τῶν σῶν δούλων· Σιλουανοῦ πατρὸς σοφοῦ, συνάμα μετ᾽ αὐτοῦ, Σωφρονίου τοῦ σοφῶς ἐκδιαθρέψαντος, ἐν ἐσχάτοις

τοῖς χρόνοις, λιμώττοντα λαὸν καὶ παράσχου σοῖς δούλοις ἀπολύτρωσιν.

### Ἐξαποστειλάριον.

**Ἦχος β΄.** Τοῖς Μαθηταῖς συνέλθωμεν.

Μετάνοιαν ὁλοτελῆ, καθαρῶς σὺ βιώσας καὶ καταγράψας ἅγιε, ἅπερ πείρᾳ γινώσκεις, φωστὴρ ἐγένου τοῦ κόσμου, ἐν ἐσχάτοις τοῖς χρόνοις· διὸ σὲ μακαρίζομεν, ὡς Φωτὸς Θείου γνώστην καὶ μιμητὴν τοῦ Σωτῆρος, ἅγιε, ἐν τοῖς πόνοις· μεθ' Οὗ νῦν συναγάλλεσαι, ὑπὲρ πάντων πρεσβεύων.

**Θεοτοκίον,** ὅμοιον.

Φωτὸς τοῦ Θείου Ἄχραντε, Σὺ Μητέρα ἐδείχθης· Φωτὸς τοῦ Θείου ἔμπλησον, πενομένας καρδίας, ταῖς τοῦ Ὁσίου πρεσβείαις, ἔχοντος παρρησίαν· τοῦ Σωφρονίου μάκαρος, οὗ τὰς λιτὰς λαβοῦσα, πρὸς τὸν Υἱὸν καὶ Σωτῆρα πάντων, Μῆτερ ἀνθρώπων· προσάγαγε καὶ πρέσβευε ὅπως εἰσακουσθῶσιν.

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν Στίχους δ′ καὶ ψάλλομεν
Στιχηρὰ προσόμοια, δευτεροῦντες τὸ πρῶτον.

**Ἦχος α΄.** Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες, ἀνευφημήσωμεν Ὀρθοδοξίας στῦλον, φαεσφόρον ἀστέρα, κανόνα μετανοίας καὶ Ἐντολῶν τοῦ Κυρίου θεράποντα, ἄρσιν ἐντέλλοντα τῶν πταισμάτων τῶν ἀδελφῶν καὶ ταπεινώσει διαλάμποντα.

Φωτὸς Ἀκτίστου ἐγένου μέτοχος, ὅσιε, ὃ ταπεινοῖς λογίοις δι᾽ἡμᾶς καταγράφεις· αὐτοῦ τῆς κοινωνίας αὐγὴν ἀμυδράν, ὑπερεύχου μακάριε, ὑπὲρ τιμώντων τὴν μνήμην σου, ἀγαθέ, ὦ Σωφρόνιε μακάριε.

Ὁ σωφρονῶν τῷ Κυρίῳ λόγοις καὶ πράξεσιν, ὁ καρτερῶν Ἐκείνῳ Γεθσημανείῳ τῷ τρόπῳ, ὁ πάσχων ὑπὲρ πάντων ἐν προσευχῇ, ἐν καρδίᾳ, ἐν δάκρυσιν· ὁ ἑαυτὸν παραδίδων Θείᾳ Βουλῇ, χαίροις Σωφρόνιε μακάριε.

Δόξα. **Ἦχος πλ. δ'. Ἀνατολίου.**

Οὐρανοδρόμῳ ἐπιβὰς ὀχήματι θεσπέσιε, τῶν ἀρετῶν κατέλαβες, τὴν ἀκρόπολιν δι' ἀσκήσεως, ἐκ τῆς ἐρήμου πολεύων, τῆς ἄνω Ἱερουσαλήμ τὰ ὑπερκόσμια· καὶ τῶν ἐκ πόνων ἀγώνων, ἀξίως τὰ γέρα κομισάμενος, ταῖς οὐρανίαις συναγάλλῃ, ταξιαρχίαις παμμακάριστε, τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, καὶ τῆς Βασιλείας οἰκήτωρ γενόμενος. Ἀλλὰ πρέσβευε Θεοφόρε Σωφρόνιε, τῷ Σωτῆρι τῶν ὅλων, εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. **Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου.

www.tezaurliturgic.ro



# Εἰς τὴν Θείαν Λειτουργίαν.

**Ἀπόστολος**, Ἑβραίους δ΄, 14 - ε΄, 10.

**Εὐαγγέλιον**, Κατὰ Ἰωάννην ιε΄, 7-16.

## Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
Ἀλληλούϊα.

## Μεγαλυνάρια.

Εἴληφας τὸ πλήρωμα τῆς Ζωῆς, κατὰ τοὺς Πατέρας, καὶ ἐφάνης καθηγητής, τὸν Χριστὸν διδάσκων, ἐν Πνεύματι Ἁγίῳ, Σωφρόνιε θεόφρον, ὅθεν τιμῶμέν σε.

Βίον σου συνάψας τῇ προσευχῇ, ὅλος πνεῦμα ὤφθης, τὸ ὀστράκινον καὶ φθαρτόν, σκεῦός σου ἑψήσας, φωτὶ τῷ Θαβωρείῳ, οὗ μύστης μέγας ὤφθης, πάτερ Σωφρόνιε.

Ἥλιον ἑώρακας τὸν Χριστόν, ἐν τῷ ὄρει Ἄθῳ, καὶ ἐκράτησας ἐν ψυχῇ, Τοῦτον ζηλοτύπως, Σωφρόνιε ἐν Δύσει, φωταγωγήσας πλήθη, λόγοις καὶ πράξεσι.

Γέγονας χριστόῤῥειθρος ποταμός, τοὺς πιστοὺς ποτίζων, ἐκ πληρώματος τῆς Ζωῆς, πάθη δὲ καὶ νόσους, πανσόφως θεραπεύων, τῇ κλήσει τοῦ Κυρίου, θεῖε Σωφρόνιε.

Σὺν τῷ κατὰ πνεῦμά σου ὁδηγῷ, Ἀθωνίτῃ θείῳ, καὶ ὁσίῳ Σιλουανῷ, σκέπε τὴν Μονήν σου, Σωφρόνιε τρισμάκαρ, καὶ πάντας τοὺς τιμῶντας, ἄμφω ἐκ πίστεως.

### Στίχοι

Σὺν Σιλουανῷ, Σωφρόνιε, πατρί σου,
Μνήσθητι πάντων τῶν ὑμᾶς συντιμώντων.



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

*(Ἀνωνύμου Ὑμνογράφου)*

*Μετὰ τό, Εὐλογητός, ὁ ΡΜΒ´ ψαλμὸς.*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου· Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου, ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου (τετράκις).*

**Ἀπολυτίκιον. Ἦχος γ΄.** Θείας πίστεως.

Πλήρης χάριτος καὶ ἀληθείας, φῶς γενόμενος θεολογίας, προφητικῶς τὸν σὸν βίον διήνυσας, τὸν Ἐνυπόστατον Λόγον ἑώρακας, καὶ σωτηρίας ὁδοὺς ἡμῖν ἐγνώρισας, Πάτερ πρέσβευε Χριστῷ τῷ Θεῷ δωρήσασθαι, Σωφρόνιε ἡμῖν τὸ μέγα ἔλεος.

**Ἀπολυτίκιον. Ἦχος δ΄.** Ὁ ὑψωθείς.

Πατρὸς Ὁσίου ποθεινότατον τέκνον, Σιλουανοῦ τοῦ Ἀθωνίτου ἐδείχθης, Σωφρόνιε χριστόνοε καὶ θεῖος ἑρμηνεύς, τῇ σοφίᾳ λόγων σου, ἐν τῷ κόσμῳ ἐκλάμψας, καὶ ἐνθέῳ βίῳ σου, πρὸς τὸ Φῶς ὁδηγήσας, τοὺς αἱρουμένους Πάτερ τὸν Θεόν, Ὅνπερ εὐχαῖς σου, ὀψόμεθα πώποτε.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι**
**Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.**

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## Εἶτα ὁ Ν΄ ψαλμός·

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
«Τήρει τὸν νοῦν σου ἐν ᾅδῃ καὶ μὴ ἀπελπίζου».

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄.** Ὑγρὰν διοδεύσας.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τιτρώσκουσι βέλη τὰ τῶν παθῶν, ψυχὴν καὶ καρδίαν καὶ συνείδησιν τὴν ἐμήν. Πῶς ὕμνον πρὸς ἅγιον συνθέσω; Κύριε, δός μοι καὶ νοῦν καὶ κατάνυξιν.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡφαίστιον μέγα καὶ φοβερόν, εἰς βάθη ψυχῆς μου ὑποφώσκει πυριφλεγές· ἐκ τούτου ζητῶ τὴν σωτηρίαν τῇ προστασίᾳ σου, πάτερ Σωφρόνιε.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ρωγμὴν ὑφιστάμενος τῇ ψυχῇ, ἀπώλεσα, πάτερ, αὐτεξούσιον ἀληθές· ἀνεύρεσιν τούτου δίδαξόν με, ὡς Ἐκκλησίας πατὴρ καὶ διδάσκαλος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἐν πόνοις ὑπάρχω καὶ στεναγμοῖς, ψυχικῇ ὀδύνῃ, ἀσθενείᾳ σωματικῇ· σύ, πάτερ, ὑγείαν μοι παράσχου, τῇ φλογερᾷ σου πρεσβείᾳ πρὸς Κύριον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Θεοτοκίον.

Ἰσοῦται τῷ βίῳ μου τὸ μηδέν, ἄβυσσος ἐντός μου καὶ σκοτία ὀλισθηρά· ἅπλωσόν μοι χεῖρα, Θεοτόκε, καὶ πρὸς οὐράνιον ὕψος ἀνέλκυσον.

## Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν θεόπτην πατέρα καὶ ταπεινὸν σέβομαι· εἰ καὶ ταπεινὸς οὐχ ὑπάρχω, τούτῳ προσέρχομαι. Πάτερ Σωφρόνιε, σύ μοι ταπείνωσιν δεῖξον, φλέγον μου ὡς ἄκανθαν τὴν ἐγωπάθειαν.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐρανοῦ διαδασκάλῳ γονυπετής ἔρχομαι, πλὴν ἐγωϊσμοῦ τὰς ἀκάνθας οὐκ ἐξερίζωσα· ὡς γὰρ ζιζάνια ἐμὴν σπορὰν καταπνίγει· σύ μοι, πάτερ, σύνδραμον πρὸς ἐκβοτάνισιν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Νοῦν Χριστοῦ κατακτήσας καὶ λαμπρυνθεὶς Πνεύματι, βάθη ταπεινώσεως ἔχεις, πάτερ Σωφρόνιε, καὶ προσευχόμενος ὑπὲρ τοῦ κόσμου δακρύζεις, πλὴν μὴ παύσῃ, ἅγιε, πάντες δεόμεθα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Θεοτοκίον.

Νῦν βεβύθισμαι πάλιν εἰς φοβερὰν ἄβυσσον, ἧς, Ἀβυσσότοκε Ἀγάπης, σπεῦσον ἀνάσυρε! Τῇ γὰρ δυνάμει Σου ἄβυσσος πᾶσα πληροῦται, γεφυροῦνται χάσματα, βράχοι βλαστάνουσι.

Διάσωσον, τὴν οἰκουμένην ἐκ φόνων καὶ μολυσμάτων, σβέσον δὲ τοῦ μίσους τὰς φλόγας, πάτερ Σωφρόνιε, καὶ ἴασαι πεπληγμένην ψυχήν μου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἡμῶν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Κάθισμα. Ἦχος δ΄.** Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἐν τῷ ἀΰλῳ Σου Φωτί, ὁ Θεός μου, πᾶσα καρδία ταπεινὴ λελουμένη καταλαμπρύνει τὰ σύμπαντα πυρὶ νοερῷ· οὕτω καὶ ἡμῶν Σωφρόνιος ὁ πατὴρ καὶ διδάσκαλος, ὡς φωστὴρ πολύφλογος πυρπολεῖ δι᾽ ἀγάπης, βάθη συνειδήσεων καὶ ψυχῶν καταυγάζων· τούτου τοὺς λόγους, φίλοι, ταπεινῶς, ἐγκολπωθῶμεν πρὸς ὕψους ἀνάβασιν.

**Ὠδὴ δ΄.** Εἰσακήκοα, Κύριε.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ ἐκπλύνων τὰ πταίσματα καὶ τὰς ἁμαρτίας καθαίρων Κύριος, τοὺς μισοῦντας με συγχώρησον τῇ ἁγνῇ πρεσβείᾳ Σωφρονίου Σου.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπὲρ πάντων τῶν φίλων μου καὶ ἐχθρῶν μου πρέσβευε, πάτερ ἅγιε· κἂν ἀνάξιος ὑπάρχω σου, ἐνθυμούμενος σοὺς λόγους δέομαι.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νέον ἅγιον ἔδειξας τοῖς ἀνθρώποις, Δέσποτα, καὶ διδάσκαλον· τοῦτον φέρω Σοι δεόμενος ὡς σπουδαῖον πρέσβυν ὑπὲρ κόσμου Σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Σωφρονίῳ προσέρχομαι, τῆς αὐτοῦ πρεσβείας ἱκέτης ἄθλιος, ὡς ταπείνωσιν διδάξαντι καὶ Χριστοῦ ἀγάπην ἐφαρμόσαντι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Θεοτοκίον.**

Οὐρανοῦ πλατυτέρα, Σύ, καὶ Θεοῦ παντάνακτος Θρόνε πύρινε, τῇ πρεσβείᾳ Σου πρὸς Κύριον οἰκουμένην πίπτουσαν ἀνόρθωσον.

## Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὕψωσον ἡμᾶς προσευχῇ σου, πάτερ ὅσιε, πρὸς τῆς ζωῆς τὸν Τριπλοῦν Ποταμόν, Ὅστις ἀπαύστως ἀρδεύει συμπάντων πέρατα.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἕνωσον ἡμᾶς τῇ πρεσβείᾳ σου, Σωφρόνιε, διῃρημένους μαχαίρᾳ ἐγωϊσμοῦ, Θεοῦ εἰρήνην ἐμπνέων τὴν παραδείσιον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Νέφη τὰ πυκνὰ καὶ ζοφώδη τῆς καρδίας μου πνοῇ σου, πάτερ, ὡς ἄνεμος, δίωξον, ὁδὸν ἀνοίγων χαρᾶς πρὸς ἡλιοφάνειαν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Θεοτοκίον.**

Ἄνασσα σεμνή, κλῖμαξ γῆθεν ἄνω φέρουσα, ὡς ἐν ἀγκάλαις βαστάσασα τὸν Θεόν, σῶζε στοργῇ Σου γλυκείᾳ βρέφη καὶ νήπια.

## Ὠδὴ ϛ΄. Τὴν δέησιν.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δεδούλονται ταῖς ἀνάγκαις πένητες, οἱ δὲ πλούσιοι φθαρτοῖς ἀργυρίοις, καὶ ἰσχυροὶ κατεδούλωσαν πλήθη καὶ τῷ χρυσίῳ λαοὶ θυσιάζονται! Ὦ πάτερ, ἄνωθεν ἐλθών, τοὺς ἀθώους βασάνων διάσωσον!

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ σκέψις μου τοῦ Θεοῦ μακρύνεται καὶ συνείδησις ἐμὴ καθιζάνει, καὶ ἀρετῆς μου ἀγρὸς ἐρημοῦται καὶ τῆς ἀγάπης οἰκία κρημνίζεται! Ὦ πάτερ, ἄνωθεν ἐλθών, σῶζε φρένας ἐμάς, ὦ Σωφρόνιε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἀπώλεσα τῆς εὐχῆς τὸ στόλισμα καὶ τῆς χάριτος ὁ πλοῦτος ἐκλάπη· καὶ νῦν ὁρῶ τῶν ἐχθρῶν μου τὰ στίφη καὶ εἰς ἀπέλπιδα ζόφον βυθίζομαι· ἀλλ᾽ ἄνωθεν ὡς ἀετός, πεπτωκότα με, πάτερ, ἀνόρθωσον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Θεοτοκίον.

Ἀστέρισον τῆς ζωῆς μου, Δέσποινα, τὴν πικράν τε καὶ ἀσέληνον νύκτα, ἵνα Φωτὸς ἀπολαύσω ἰκμάδα καὶ λυτρωθῶ σκοτασμοῦ, ὃν ἐπέλεξα· καὶ ὤθησον πρὸς οὐρανὸν τῇ εὐόσμῳ χειρί Σου, πανθαύμαστε!

Διάσωσον τὴν οἰκουμένην ὀλέθρου τῆς ἀπληστίας, σβέσον ἐκδικήσεως φλόγας, πάτερ Σωφρόνιε, καὶ φύλαττε ὀρφανοὺς ἐκ τοῦ μίσους.

Ἐπίβλεψον ἐν εὐλογίᾳ, πανάχραντε Θεομήτωρ, ἐπὶ τὴν ἐχθρῶν μου καὶ φίλων λύμην κακώσεων καὶ λύτρωσον ἀθεΐας καὶ πλάνης.

### Κοντάκιον. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον.

Πυρωθεὶς τῷ Πνεύματι, Ὃ ἐξεζήτησας πόθῳ, ὅλος πῦρ θεόληπτε, ἐκ μετοχῆς ἐγεγόνεις, εἶδες γάρ, ὡς δυνατὸν τοῖς ἀνθρώποις, Φῶς Χριστοῦ, καὶ ἐνεπλήσθεις χαρίτων, σὺν Πατρί σου Ἐκκλησίᾳ, καθοδηγοῦντες, παμμάκαρ Σωφρόνιε.

### Ἀναβαθμοί. Ἦχος δ΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' Αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον, Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).

### Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**Καὶ νῦν.**

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ρεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

**Προκείμενον. Ἦχος δ΄.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

**Στίχος.** Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν.

(Κεφ. ι΄, 1-4 καὶ 17-24)

Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἤμελλεν αὐτὸς ἔρχεσθαι. Ἔλεγεν οὖν πρὸς αὐτούς· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Ὑπάγετε· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν

ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπε· πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν ὁ υἱός, εἰ μὴ ὁ πατήρ, καὶ τίς ἐστιν ὁ πατήρ, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς κατ᾽ ἰδίαν εἶπε· μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. Λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

## Δόξα.

Ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

## Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

**Προσόμοια.** Ὅλην ἀποθέμενοι. Ἦχος πλ. β´.

Τάδε λέγει Κύριος· τοῖς ταπεινοῖς ὁμοιάζω, τοὺς πτωχοὺς ἠγάπησα, εἰς βρεφῶν συνείδησιν ἀναπαύομαι· κόσμῳ δεδώρημαι, ἐν ἐσχάτοις χρόνοις, τὸν μακάριον Σωφρόνιον, Φωτὸς διδάσκαλον, καὶ Σιλουανὸν τὸν παμμέγιστον· τούτων οὖν τοῖς λόγοις εὐήκοον ποιήσατε τὸ οὖς, καὶ ἐξ ἀμπέλου τῆς χάριτος θεῖον οἶνον γεύσασθε.

Οὐδεὶς προστρέχων ἐπὶ σοί.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατησχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, σεπτὲ Σωφρόνιε παμμάκαρ, πατρικὴ γὰρ ἀγάπη ἀπὸ σοῦ ἐκπορεύεται, υἱοθεσίαν χαριζόμενη.

Μεταβολὴ τῶν θλιβομένων.

Ἐν τῇ τοῦ λόγου τυραννίδι καὶ τῇ τῶν πάντων καταχρήσει, Σωφρόνιε, ὡς ἀστὴρ ἀνατείλας, πῦρ ἀνάπτων τοῖς λαοῖς, πάντας τοὺς ἀλήθειαν διψῶντας, πάντας τοὺς εἰρήνευσιν πεινῶντας, πρὸς νέαν καθοδήγει Βηθλεέμ.

**Ὠδὴ ζ΄.** Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱερεῦ τοῦ Ὑψίστου, σεαυτὸν ὁ προσφέρων εἰς ὁλοκαύτωμα, σταυρῷ τῷ τῆς ἀγάπης ὑψώθης τῶν γηΐνων, προσευχόμενος πάντοτε πρὸς τὸν Σωτῆρα Χριστὸν ὑπὲρ παντὸς τοῦ κόσμου.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μὴ παρίδῃς, ὦ πάτερ, τὴν ἐμὴν ἀγωνίαν ὑπὲρ οἰκείων μου· καὶ στήριξον εὐχαῖς σου, κινδύνων ἀπαλλάττων καὶ καλῶν εἰς παράδεισον, ὅπου λαμπρῶς ἐνοικεῖς σὺν πᾶσι τοῖς ἁγίοις.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἡ σοφία σου, πάτερ, θεολόγους ἐκπλήσσει, ἀνδρίζει νήπια, διὸ καὶ σοὶ προσφεύγω, ζητῶν τὴν εὐλογίαν καὶ ψυχῶν καθοδήγησιν, πρὸς τὸν νυμφῶνα Χριστοῦ, ἐχθρῶν μου τε καὶ φίλων.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Θεοτοκίον.**

Ἀληθῶς, Θεοτόκε, οὐκ ἀξίως ὑφαίνω τὴν Σὴν παράκλησιν, πλὴν θάρρος προσπορίζω ἐκ Σῆς τῆς βαθυτάτης ταπεινῆς ἀγαπήσεως· ὦ Βασιλὶς τῶν λαῶν, εὐλόγει τοὺς Σοὺς φίλους.

**Ὠδὴ η΄.** Τὸν βασιλέα.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πύργον ἀγάπης οἰκοδομῶν ἐν καρδίᾳ, σύ μοι σύνδραμε, Σωφρόνιε πάτερ, ἵνα κατοικήσω σὺν φίλοις καὶ Θεῷ μου.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν ᾅδῃ φίλους καὶ τοὺς προγόνους μου πάντας ἔχω, ἅγιε, καὶ δέησιν ψάλλω, σκότους ἑκουσίου σωθῆναι σαῖς πρεσβείαις.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Λάμψον εὐχαῖς σου τοῖς ἐν τῷ ᾅδῃ νεκροῖς μου, καὶ πρὸς Κύριον μεσίτευε, πάτερ, ὑπὲρ σωτηρίας πάντων τῶν τεθνεώτων.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Θεοτοκίον.**

Πάντας σωθῆναι, οὕτω ποθεῖ ὁ Υἱός Σου, πλὴν ἀγάπην ὁ τυφλὸς ἀπορρίπτει· πρέσβευε οὖν, Κόρη, ὑπὲρ ψυχῶν ἐν σκότει.

**Ὠδὴ θ΄.** Κυρίως Θεοτόκον.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάσεως ἡ βρύσις, ὁ κρουνὸς σοφίας, ὁ ποταμὸς τῶν χαρίτων ὁ ἅγιος, ἡμιθανῆς καὶ διψῶν σοι, πάτερ, προσέρχομαι.

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ζωὴν τοῖς τεθνηκῶσι, φῶς τοῖς σκοτισθεῖσι δίδου πρεσβείαις σου, πάτερ, πρὸς Κύριον, ἔμπιστος φίλος ὑπάρχων Αὐτοῦ, Σωφρόνιε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Οὐράνιον λειμῶνα, πάμφωτον αὐλαίαν, ἔμπροσθεν πάντων, σοῖς λόγοις, διάνοιξον, ἵνα ποθῶντες Χριστὸν ἔνδον ἔλθωμεν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Θεοτοκίον.**

Ὑψίστη προστασία, δειλῶν παρρησία, παρηγορία πενθούντων, Θεόνυμφε, τῶν ὀρφανῶν ψυχοτρόφε, σῶζε τοὺς πάσχοντας.

**εἶτα ἐπιψάλλομεν τό,**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

# Μεγαλυνάρια.

(Ἀθανασίου Ἱερομονάχου Σιμωνοπετρίτου)

Εἴληφας τὸ πλήρωμα τῆς Ζωῆς, κατὰ τοὺς Πατέρας, καὶ ἐφάνης καθηγητής, τὸν Χριστὸν διδάσκων, ἐν Πνεύματι Ἁγίῳ, Σωφρόνιε θεόφρον, ὅθεν τιμῶμέν σε.

Βίον σου συνάψας τῇ προσευχῇ, ὅλος πνεῦμα ὤφθης, τὸ ὀστράκινον καὶ φθαρτόν, σκεῦός σου ἐφήσας, φωτὶ τῷ θαβωρείῳ, οὗ μύστης μέγας ὤφθης, πάτερ Σωφρόνιε.

Ἥλιον ἑώρακας τὸν Χριστόν, ἐν τῷ ὄρει Ἄθῳ, καὶ ἐκράτησας ἐν ψυχῇ, Τοῦτον ζηλοτύπως, Σωφρόνιε ἐν Δύσει, φωταγωγήσας πλήθη, λόγοις καὶ πράξεσι.

Γέγονας χριστόῤῥειθρος ποταμός, τοὺς πιστοὺς ποτίζων, ἐκ πληρώματος τῆς Ζωῆς, πάθη δὲ καὶ νόσους, πανσόφως θεραπεύων, τῇ κλήσει τοῦ Κυρίου, θεῖε Σωφρόνιε.

Χαίρει τῶν Ὁσίων Ἀθωνιτῶν, ὁ χορὸς ὁ θεῖος, ὡς πλουτήσας συγχορευτάς, σὺν Σιλουανῷ τε, Σωφρόνιον τὸν μέγαν, τῆς Θεοτόκου τέκνα, ἄμφω παμφίλτατα.

Σὺν τῷ κατὰ πνεῦμά σου ὁδηγῷ, Ἀθωνίτῃ θείῳ, καὶ ὁσίῳ Σιλουανῷ, σκέπε τὴν Μονήν σου, Σωφρόνιε τρισμάκαρ, καὶ πάντας τοὺς τιμῶντας, ἄμφω ἐκ πίστεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.**

**καὶ τὰ τροπάρια**

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

**Δόξα.**

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ

γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

**Καὶ νῦν.**

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Πάντων, προστατεύεις Ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει, τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν, ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι, ὑπὸ πταισμάτων πολλῶν. Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου· ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Πάντων, θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε παράκλησις, καὶ βακτηρία τυφλῶν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων, σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθός, Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου, σὺ

ὑπάρχεις· Ἄχραντε, σπεῦσον, δυσωποῦμεν, ῥύσασθαι τοὺς δούλους σου.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδαν μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ· φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην σου.

**Δι᾽ εὐχῶν.**

www.tezaurliturgic.ro



Εἰς τὸν Ἑσπερινόν, Στιχηρὰ Προσόμοια.

Ἦχος Ποίοις εὐφημιῶν στέμμασιν. Δι




εν ε ρη μοι οις το ο ο ο ποις τον ον τως Ο
ον τα α εχ ζη η των Χρι στο ον τον Θε ο ο ον η
η η η η μων ο Σω φρο νι ος α νε ε ευ
ρα α α το
Ποι οι οι οις ευ φη μι ω ω ων ε ε ε ε παι αι
αι αι νον προ σε νε εγ χω ω ω μεν τω ω
Σω ω ω φρο νι ι ω τον ε σχα τοις χρο νοις εχ λα
αμ φα αν τα χαι την οι χου με ε ε ε νην φω τι ι
ι σα α αν τα της Ορ θο δο ξι ι α ας το
ο ον φω στη η ρα α ο ο ο χνως τη προ σευ χη


η εγ χαρ τε ρη η η η σα α α αν τα σπου δαι αι
αι ως εν τοις δο ογ μα σι φοι τη η η η σα α α
αν τα ον τως πα θω ων γα α αρ τα θει ει α
χοι νω νι α αν ε ε ε ε σχεν των α χτι
ι στων ε νερ γει ει ων τοις α ξι ι οις δε με
ε ε θε ε ε ε ε χτων ε εν οις Θε ος δο ξα
α α ζε ε ε ται
Α α α σμα Αγ γε λι χο ο ον γε ε ε ε γο ο
ο ο νε προς τον Κυ υ ρι ι ι ον η η
βι ι ι ο τη η σου της σης με τα νοι ας τοις δα


α κρυ υ σι και α σκη τι κοι οι οι οις σου πα λαι αι
αι σμα α α σι τη Γεθ ση μα νει ει ω ω προ ο
ο σευ χη η σου δι η η ης υ περ πα ναν θρω
ω που προ σευ χο ο ο ο με ε ε ε νος εν τα α
αυ τη τη τα πει νο φρο συ υ νη ο δη γου ου ου ου
με ε ε ε νος του Ι η σου ου κα α α τα Πα
αυ λον πα θη μα τω ων μυ υ υ υ στης ω
Σω φρο ο νι ε γε γο ο νως Αυ το ον κα θι
κε ε ε τε ε ε ε ευ ε υ υ περ των ψυ χω
ω ων η η η μων

## Ἕτερα Στιχηρά Προσόμοια.

Ἦχος πλ. δ'. Ὡς γενναῖον ἐν μάρτυσιν. βου




ε τα νοι οι οι α ας δι δα α σχα α λο ο ος συ
ε γε ε νου ου Σω φρο νι ι ε ε και της θει ει α
ας γνω ω σε ε ω ω ως μυ υ στης α ρι ι στο ος
των ε εν το ο λω ω ων τη η τη ρη σει ει γα α α αρ
σο φω ως πο ρευ ο ο με νο ο ο ος α α νυ
υ φω θη ης ω ω ως ει χος εις την θει ει α αν Αν
τι λη η ψι ιν και ε ε γνω ρι ι σας του α κτι στου
ου Φω ω τος τα ας ε ε νε ερ γει ει ει α α α ας και
αι ε ελ λαμ φει εις ου ρα α νι ι ι ας τη τα πει
νω ω ω σει ει υ υ φου με ε νο ος


Ως το Φω ω ως τη ης Θε ο ο τη η το ο ος συ
κα τει ει δε ες Σω φρο νι ι ε ε εν το λα ας Κυ
υ ρι ι ου ου προ ο ος το ο αν θρω πι ι νο ον
ων η η α α σα α α λε ευ τος τη ρη η σι ι ι ις
προ α α γει τον α αν θρω πο ο ο ον προ ος τη
ην θει α αν α α α παρ χην προς το χα αλ λο ος της
πλα σε ε ω ως ου πε ερ γε γο ο νας κοι νω νος κα
α τα α θει α αν ε ευ δο ο χι ι ι α α α αν η
ης α α ξι ω ως κα τη ηυ γα α α σθης τη α κα
μα α α τω ω α α σχη σει ει σου ου

## Δόξα ἑσπερινοῦ. Ἦχος λ/π Πα.

Λε ε ευ τε α να βω ω ω ω ω μεν εις το Ο ο

ρος Κυ ρι ι ι ου δε ε ε ε ε ευ τε

και κα τι ι δω ω ω μεν θε αυ γε στα την

χο ο ο ρυ υ υ φη ην πρα ξε ω ω ω ως τε ε

και θε ω ρι ι ι ας Σω φρο ο νι ον δε

τον ο ο σι ι ον μυ στα γω γον και πο δη η γε

ε την θε ο πρε πως ε να α α τε νι ι σω

ω ω μεν την χλι ι ι μα χα α γαρ Ι ω α αν

νου ου του ου ου Σι ι ι να α ι ι ι του εν αλ


λοις λο γοις κα τε ε ε γρα α α α φεν δη λα
ποι οι ων ο σα τη της πρα α ξε ε ως πει ρα α α
με μα α θη η η κεν Γρη γο ρι ι ου δε του
Πα λα μα α τη ην δι ι ι δα α α σκα α λι αν
και τας θει α ας ε ε ελ λα α αμ φει εις ε πα
ξι ι ι ως κα τη χο λου ου ου θη η η σεν
δι η η η η η νοι οι οι οι οι ξεν δε ε
ου ου ου τως τη ση με ε ε ρο ο ον η η με
ε ε ρα ο δους τας ευ θει ει ει ει ας της ορ θο
δο ο ξου πι ι ι στε ε ε ε ως και της εν

Χρι στω Ι η σου ου ου βι ι ο ο ο της αυ

τω συμ φω ω νω ως εκ βο η σω ω με εν μη δι

α λι ι πη η ης πρε ε σβευ ων υ περ λα ου ε πται αι

χο ο ο τος πα τερ α α γι ω ω ω τα α α

τε



## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος πλ. δ΄ Πα




α α την ο ο δον α γου ου σαν προς την βα σι λει
ει ει α αν τω ω ων ου ου ρα α α νων αυ
τον ουν μι μη σω ω με θα χαι τας προς Κυ ρι ον
πρε σβει ει ας αυ του αι αι τη σω ω ω με ε ε
ε θα
Ἦχος Δι
Κρα α τει τον νουν σου εις το ον Α α α δην και μη α
α πελ πι ι ζου την σω τη ρι ον ταυ την πα ραι αι
νε ε σιν πα ρα Κυ ρι ου δο ο θει ει ει σαν τω
α γι ι ω Σι λου α α νω ω ω την αυ
την ο λο χαρ δι ως δι α βι ι ου ου δι ε φυ


υ υ λα α α ξας εν θεν κα ταυ γα σθεις χαρ
μο λυ υ πη α α σχη τι ι χη εν γλυ κει α χαρ
δι ι ι α πεν θη ρη βι ι ι ον δι η η γα α
α γες δι ο σε ε ε δυ υ υ σω που ου μεν
πα ρα σχου και η μιν τοις δι ι φω ω ω σιν ρα νι ι
δα εκ της δο θει σης σοι χα α α ρι ι ι τος

## Ἦχος Γα


Τον της Θει ας Λει τουρ γι ι ι α ας μυ στα α α
γω γο ον του Ε σταυ ρω με νου α νυ υ υ στα κτον
ε ε ε ρα α α α στη ην και της οι οι κου ου


με ε νης σο φω ω ω τα τον παι αι δε ε ευ την
Σω φρο ο ο ο νι ι ι ι ι ο ον τον α γι
ω τα τον ευ σε βο φρο ο ο νως τι ι μη η σω
ω ω ω ω με εν ου ου ου ου το ος γαρ α
κτη η η μων εν πα σιν γε γο ο νος την κα τα το
πνε ε ευ μα ε κτη η σα α το ο ο α κτη η μο
συ υ υ υ υ νη ην την βα α σι λει ει
ει ει αν των ου ου ου ρα α α α νων εκ ζη τω ω
ω ων μο ο νον και πο θω ων ησ περ και αι η μει ει
εις τυ χοι οι μεν ταις πρε σβει ει ει αι αις ταις σαι αις
πα α τερ α γι ω ω α γι ω τα α τε

## Ἦχος Πα


Του αυ το μι ι σους ευ ρω ω ων την ο ο δον ως μο
νην α σφα λη και αι θε ε ο ο ο δε ε ε κτον
ως ει χο ο ος ε ε ευ ρε ε ε ε θης προ της
ει σο ο ο δου της α σα λε ευ του βα σι λει ει
ει ας παν τα ι σχυ υ ων εν τω εν δυ να μου ουν τι
σε Χρι ι στω πα α τερ Σω ω φρο νι ι ε ε ως σο
φο ο ος δι δα α α σκεις ου τω και πει ρα ε
ε ε λα α α βες ε ω ρα κας γαρ τον α λη θι
νον ο ο ον τως Θε ε ον και ον α α πε στει ει λεν Ι




Δόξα Λιτῆς. Ἦχος πλ. α' Πα




ω ω ω σω ω ω μεν ου τος γαρ το α α α
υ λον πυ υ υρ εν τη καρ δι α δε ξα α α
με ε ε ε νος τοις ο χε τοις των δα α κρυ υ υ
ων δυ να μει του Χρι ι στου ε αυ τον ο λο τε λως
η γι ι α α σεν και την της α πα θει ει ας
πο ο λιν ε εγ κα α τω ω ω ω ω χη η η
σεν ου ου ου τω ω γε ε γο ο ο νε εν φω ω
στηρ την τα πει νω σιν Χρι στου εγ κολ πω σα με ε νος
και ε αυ τον τοι οις πα α α σιν χα ρι ι σα α
α α α με ε ε νος παν τες ουν ευ σε ε βο ο

φρο ο ο ο νως την μνη μην αυ του τε ε λου

ου ουν τες προσ πι πτον τες αυ τω χρα α α γα

α ζο ο ο μεν σω σον η μας α α α α

α α α α γι ι ε ε ε ε ταις προς Κυ

υ ρι ι ον πρε σβει ει αις σου



Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος ̈ Τῶν Οὐρανίων ταγμάτων. Πα




Την ι ι ε ρα αν του ου Προ ο δρο ο ο μου ου ου
μο ο νη ην χα α τε ε ε πτη η η ξα ας ως
θε ο φο ο ο ο ρο ον φα α ρο ο ον ε εν
χει μω ω νι ι χαι αι χρυ υ ει ω ως λυ υ χνο
ον φω ω το ο φο ρον εν σχο ο ο τει βα α θει
εν θα φω ω ως ε εχ πο ρε ευ ε ε ε ται
ως του Α μνου ου η θυ σι ι ι ι α α δι η
η νε ε χως υ περ παν τος λα ου προ ο σφε ε ε ε
ε ρε ε ε ται


Μνη μη η θα να α του ου χα α τε ε ε στη η η
γνω ω μων χα νω ων ση η ης ζω ω ω η ης πνο
η Η α αυ το ο με εμ φι ι α α α ε ε
ως Α α δου ου χω ω ρου ου σα α α α α γι
ι ου ου θε ο φο ρου ου Σι ι ι λου α α νου
νου θε σι ι ι αι αι πα να α γι ι ι αι
αι ο δη γη η σα σαι πα α α α τε ερ σε πτη
ην φυ υ χην τη τα πει νω σει εις α α να α α
α α στα α α σιν

## Δόξα ἀποστίχων. Ἦχος Πα




α α α α σχα α α λον τον κοι νω νη σαν τα
τω θει ει ει ω Φω ω τι και ταις αυ γαις Αυ του
χα α τα στρα α α φα α α αν τα τον α δι
α στα α τον της εκ κλη σι ι ας πο ο ο λον
τοι οις ο ο ο ομ βροις της χα α ρι ι το ος οι
τι νες πλου σι ι ως δι η η νοι οι οι χθη η η
σαν ται αις ρο ο αις των δα κρυ υ υ ω ων α
α αυ του Σω φρο ο νι ο ον τον σω ω ω
φρο ο ο ο να ε πα ξι ι ι ως τι μη η σω




Ἀπολυτίκιον εἰς ἀργὸν εἱρμολογικὸν μέλος.

Ἦχος ꙑ Θείας πίστεως. Γα






Ἕτερον Ἀπολυτίκιον.

Ἦχος πλ. δ΄ Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Δι






Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν′ Ψαλμόν τό Ἰδιόμελον

Ἦχος πλ. β′ Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν...

(ζήτει εἰς τά μουσικά βιβλία τῇ ε′ Δεκεμβρίου εἰς τοὺς Αἴνους).

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Προσόμοια.

Ἦχος Τῶν Οὐρανίων ταγμάτων. Πα




ω το ος α χτι ι στου ου ε ε γε ε ε νου ου ου
με ε το ο χο ος ο ο ο σι ι ι ε ε ο
τα πει νοι οι οι οις λο ο γι ι οι οι οις δι ι
η μα ας χα α τα α γρα α φεις α αυ του ου τη
ης χοι οι νω ω νι ας αυ γη η ην α μυ υ δραν
υ περ ε ε ευ χου ου μα χα α ρι ι ι ε
υ περ τι μω ων των την μνη η η η μη ην σου α
α γα α θε ω Σω φρο νι ε μα α χα α α α
α ρι ι ι ε




Δόξα. Ἦχος πλ. δ΄. Οὐρανοδρόμῳ ἐπιβὰς ὀχήματι θεσπέσιε...
(ζήτει εἰς τά μουσικά βιβλία τῇ ιζ΄ Ἰανουαρίου εἰς τοὺς Αἴνους).